## ΙΓ

Προτροπὴ εἰς μετάνοιαν. Καὶ πῶς τὸ θέλημα τῆς σαρκὸς τῷ θελήματι τοῦ πνεύματος ἑνωθὲν θεοειδῆ τὸν ἄνθρωπον ἀπεργάζεται.

Κλαίω καὶ κατανύσσομαι, ὅταν τὸ φῶς μοι λάμψῃ
καὶ ἴδω τὴν πτωχείαν μου καὶ γνῶ τὸ ποῦ ὑπάρχω
καὶ ποῖον κόσμον κατοικῶ θνητὸν θνητὸς ὑπάρχων,
καὶ τέρπομαι καὶ χαίρομαι, ὅταν κατανοήσω
τὴν ἐκ θεοῦ δοθεῖσάν μοι κατάστασιν καὶ δόξαν,
καὶ ἐμαυτὸν ὡς ἄγγελον στοχάζομαι κυρίου
ἀΰλῳ τῷ ἐνδύματι ὅλον κεκοσμημένον.
ἡ οὖν χαρὰ τὸν πόθον μοι ἀνάπτει τοῦ διδόντος
καὶ ἀλλοιοῦντός με θεοῦ, ὁ πόθος δὲ δακρύων
ἀναβλυστάνει ποταμοὺς καὶ λαμπρύνει με πλέον.
ἀκούσατε οἱ εἰς θεόν, ὡς ἐγώ, ἁμαρτόντες,
σπουδάσατε καὶ δράμετε ἐν τοῖς ἔργοις εὐτόνως
καταλαβεῖν καὶ δράξασθαι πυρὸς ἀΰλου ὕλην
(ὕλην δ' εἰπὼν τὴν θείαν σοι ἐδήλωσα οὐσίαν)
καὶ ἐξανάψαι τῆς ψυχῆς τὴν νοερὰν λαμπάδα,
ἵνα γένησθε ἥλιοι λάμποντες ἐν τῷ κόσμῳ
καὶ μηδαμῶς ὁρώμενοι παρὰ τῶν ἐν τῷ κόσμῳ,
ἵνα γένησθε ὡς θεοὶ θεοῦ ὅλην τὴν δόξαν
ἔνδον ὑμῶν κατέχοντες ἐν δύο ταῖς οὐσίαις,

---

**1** Act. 12, 7 **5** cf. Ioh. 7, 18 **6** Matth. 1, 20; 2, 9; cf. Act. 5, 19 **11** cf. Luc. 15, 18. 21 **12** cf. 1 Cor. 9, 24; Hebr. 12, 1 **16** Matth. 13, 43; cf. etiam Phil. 2, 15 et Matth. 5, 16 **19**sqq. cf. Rom. 7, 14—8, 29; cf. etiam Eph. 2, 3

---

E PN(M)DA1 T(O)Z

---

titulus: τοῦ αὐτοῦ tit. praemisit A1 solus

**1** ὀτᾶν (sic) E **4** de forma χαίρομαι v. infra p. 496 **5** post δόξαν levius interpunxi et **6** στοχάζομαι cum omnibus codd. scripsi, quod verbis τέρπομαι et χαίρομαι (4) coordinatum esse videtur; an est στοχάζωμαι scribendum (ab ὅταν **4** pendens) sine signo interpunctionis post δόξαν? **10** ἀναβλαστάνει PD **13** ἄϋλον PD ad ὕλην relatum **14** totum versum cum A1 in parenthesi posui

διπλαῖς πάντως ταῖς φύσεσι, διπλαῖς ταῖς ἐνεργείαις,
διπλοῖς καὶ τοῖς θελήμασι, καθὼς βοᾷ ὁ Παῦλος·
ἄλλο καὶ γὰρ τὸ θέλημα σαρκὸς ῥευστῆς ὑπάρχει,
ἕτερον δὲ τοῦ πνεύματος καὶ ἄλλο τῆς ψυχῆς μου,
πλὴν οὐ τριπλοῦς ἀλλὰ διπλοῦς ὡς ἄνθρωπος ὑπάρχω·
ἡ ψυχή μου συνδέδεται ἀρρήτως τῇ σαρκί μου,
πλὴν οὐ ζητεῖ τὰ ἑαυτοῦ ἕκαστον καταλλήλως,
οἷον φαγεῖν τε καὶ πιεῖν, οἷον τὸ καθευδῆσαι,
ἃ καὶ σαρκὸς θέλημα χοϊκὸν εἶναι λέγω·
ἐπεὶ δὲ πάλιν χωρισθὲν ψυχῆς οὐδὲν τοιοῦτον ζητεῖ,
ἀλλὰ νεκρόν, ἀναίσθητον ὥσπερ πηλὸς τυγχάνει,
τὸ πᾶν ψυχῆς εἶναι δοκῶ ἓν θέλημα ἀνθρώπου·
ὁ οὖν τῷ θείῳ πνεύματι τὸ ἴδιον ἑνώσας
θεοειδὴς ἐγένετο Χριστὸν λαβὼν ἐν στέρνοις,
χριστιανὸς ἀπὸ Χριστοῦ Χριστὸν μεμορφωμένον
ἔχων ἐν ἑαυτῷ πάντως τὸν ἄληπτον καὶ μόνον,
τὸν ἀληθῶς ἀπρόσιτον τοῖς ποιήμασι πᾶσιν
ἀλλ', ὦ φύσις ἀμόλυντε, οὐσία κεκρυμμένη,
φιλανθρωπία ἄγνωστε τοῖς πλείοσιν ἀνθρώποις,
ἔλεος οὐχ ὁρώμενον τοῖς ἀφρόνως βιοῦσιν,
οὐσία ἀναλλοίωτε, ἄτμητε, τρισαγία,

---

**21** sqq. cf. 1 Cor. 2, 14—3, 4; 15, 44 sqq.; Gal. 5, 17; cf. etiam Ioh. 1, 13 et 1 Tim. 3, 16 **26** cf. 1 Cor. 10, 24 **29** sqq. cf. Iac. 2, 26 **34** Gal. 4, 19

---

E PN(M)DA1 T(O)Z

---

**20** ταῖς alt. om. D **22** καὶ om. PD **26** οὐ (ex coniect.?) PD recte: οὖν cett. ad sensum cf. vv. 29—31 **27** τε fere evanuit in T **28** versus una syllaba iam in archetypo caruisse videtur; nonnulli decapentasyllabum restituere conati sunt suo quisque modo: ἅττα (pro ἃ) atticissans scripsit A1 τὸ ante θέλημα add. E (quod constructioni sententiae renititur) pluralem θελήματα χοϊκὰ adhibuit Z (sed formam singularis vv. 22 sqq. et 29 defendit) fort. est ἅπερ pro ἃ in init. v. m. c. scribendum **29—30** χωρισθὲν et νεκρόν, ἀναίσθητον ad σῶμα spectant (constructio ad sensum), non ad ἕκαστον v. 26 **29** duae syllabae redundant in text. recepto, quem archetypus praebuisse videtur; verbum ζητεῖ ante ἀλλὰ v. sequ. collocant m.c. EA1 (cf. infra) **30** νεκρὸν m. c. om. A1 (cf. ad 29) vv. **30—31** ita conformat E, qui nonnullis verbis additis unum versum post mutatum v. 31 inseruit: ζητεῖ ἀλλὰ νεκρὸν ἀναίσθητον τυγχάνει (v. duabus syllabis caret) | ὥσπερ πηλὸς (haec duo verba e v. praeced. huc transposita) τὸ πᾶν ψυχῆς εἶναι δοκῶ ἀνθρώπου | ἓν θέλημα (e v. praec. ubi verba omissa sunt) καὶ οὐ διπλοῦν οὐδὲ τριπλοῦν ὑπάρχ(ει) (sed haec verba interpolata sensui vv. 29—31 non satisfaciunt) **33** Χριστὸν: θεὸν D **36** ἐπαληθῶς PND **39** βιοῦσι A1TZ **40** ἀναλλοίωτος TZ

φῶς ἁπλοῦν καὶ ἀνείδεον, ἀσύνθετον εἰς ἅπαν,
ἀσώματον, ἀχώριστον, ἄληπτον πάσῃ φύσει,
πῶς καθωράθης ὡς ἐγώ, ἐγνώσθης τοῖς ἐν σκότει
καὶ ἐκρατήθης ἐν χερσὶ μητρός σου τῆς ἁγίας
καὶ ἐδεσμεύθης ὡς φονεύς, ἔπαθες ὡς κακοῦργος
σωματικῶς, ὦ βασιλεῦ, θέλων πάντως με σῶσαι
καὶ πάλιν ἐπαναγαγεῖν εἰς παράδεισον δόξης;
τοῦτο οἰκονομία σου, τοῦτο ἡ παρουσία,
τοῦτο ἡ εὐσπλαγχνία σου καὶ ἡ φιλανθρωπία,
ἡ γενομένη δι' ἡμᾶς πάντας ἀνθρώπους, λόγε,
πιστούς, ἀπίστους, ἐθνικούς, ἁμαρτωλούς, ἁγίους·
κοινὴ γὰρ πάντων γέγονεν ἡ ἐπιφάνειά σου
σωτηρία καὶ λύτρωσις ζώντων καὶ τῶν θανόντων·
τὸ δὲ κρυπτῶς γινόμενον ἐν ἐμοὶ τῷ ἀσώτῳ
καὶ μερικῶς τελούμενον ἐν γνωστῇ ἀγνωσίᾳ
(γνωστῇ μὲν πάντως παρ' ἐμοί, ἀγνώστῳ δὲ τοῖς ἄλλοις)
ποία γλῶσσα λαλήσειε, ποῖος νοῦς ἑρμηνεύσει,
ποῖος λόγος ἐκφράσειεν, ἵνα καὶ χείρ μου γράψῃ;
φρικτὸν γὰρ ὄντως, δέσποτα, φρικτὸν καὶ ὑπὲρ λόγον,
ὅτι ὁρᾶταί μοι τὸ φῶς, ὃ ὁ κόσμος οὐκ ἔχει,
καὶ ἀγαπᾷ με ὁ μὴ ὢν ἔνδον τούτου τοῦ κόσμου
καὶ ἀγαπῶ τὸν μηδαμοῦ ὄντα ἐν ὁρωμένοις·
ἐπὶ τῆς κλίνης κάθημαι ἔξωθεν ὢν τοῦ κόσμου,
καὶ μέσον ὢν τῆς κέλλης μου τὸν ἔξωθεν τοῦ κόσμου
ὄντα τε καὶ γενόμενον βλέπω, ᾧ καὶ ὁμιλῶ
(εἰπεῖν δὲ τόλμα!) καὶ φιλῶ, φιλεῖ με καὶ ἐκεῖνος·
ἐσθίω, τρέφομαι καλῶς μόνῃ τῇ θεωρίᾳ

---

**45**sq. 2 Tim. 2, 9; cf. 1 Petr. 2, 21 et Matth. 26, 55 **50**sqq. 1 Tim. 2, 4 **53** Act. 10, 42; Rom. 14, 9; 2 Tim. 4, 1; 1 Petr. 4, 6 **57**sq. cf. supra hy. XI, 31 sqq.

---

E PN(M)DA1 T(O)Z

---

**41** φῶς ἁπλοῦν καὶ: φῶς ἐν ἁπλοῦν E **43** σκότει: κόσμῳ in text. et σκότει in marg. eadem manu scripsit N **45** ἐδεσμήθης PND (fortasse propter ἐκρατήθης v. antecedentis) **53** σωτηρία: ἀπαλλαγὴ m. c. A1 καὶ τῶν: τε καὶ D θανέντων ND **54** κρυπτὸν N γενόμενον D **56** γνωστῇ μὲν: γνωστὴ δὲ N ἀγνώστῳ: ἄγνωστος N **57** λαλήσειεν E ἑρμηνεύσοι A1 **58** ἐκφράσειε Z **61** τοῦ κόσμου τούτου invert. M (de N non constat) **62** totum versum propter homoeocatarcton (v. 61) om. PND vv. **63**—**64** inter se commutat N (propter homoeoteleuton?) **63** totum versum bis exaravit T ἔξωθεν ὢν τοῦ κόσμου: ἔξω τοῦ κόσμου πέλων E (var. lect.?) **64** μέσω ὢν (sic) E **65** ὄντα τε καὶ — ᾧ καὶ ὁμιλῶ: ὄντα βλέπω καὶ ὁμιλῶ ὑπάρχοντα ἀρρήτως m. c. E **66** parenthesin indicavi τόλμα: τόλμη E: τολμῶ N ἐκεῖνο D

καὶ συνενούμενος αὐτῷ οὐρανοὺς ὑπερβαίνω·
καὶ τοῦτο οἶδα ἀληθὲς καὶ βέβαιον ὑπάρχειν,
τὸ ποῦ τὸ σῶμα τότε δὲ ὑπάρχει, οὐ γινώσκω·
οἶδα, ὅτι κατέρχεται ὁ ὑπάρχων ἀκίνητος,
οἶδα, ὅτι ὁρᾶταί μοι ὁ τυγχάνων ἀόρατος,
οἶδα, ὁ πάσης κτίσεως ἀποκεχωρισμένος
ἔνδον αὐτοῦ λαμβάνει με καὶ ἐν ἀγκάλαις κρύπτει
καὶ ἐκ παντὸς εὑρίσκομαι ἔξω τότε τοῦ κόσμου·
ἐγὼ δὲ πάλιν ὁ βροτὸς καὶ μικρὸς ἐν τῷ κόσμῳ
ἐντός μου ὅλον καθορῶ τὸν ποιητὴν τοῦ κόσμου
καὶ οἶδα, ὡς οὐ θνήξομαι ἔνδον ζωῆς τυγχάνων
καὶ ὅλην ἔχων τὴν ζωὴν βλυστάνουσαν ἐντός μου·
ἐν τῇ καρδίᾳ μου ἐστίν, ἐν οὐρανῷ δ' ὑπάρχει,
ὧδε κἀκεῖ ὁρᾶταί μοι ἐπίσης ἀπαστράπτων·
ὅπως δὲ ταῦτα γίνονται, πῶς ἂν καλῶς νοήσω;
πῶς δ' ἐξειπεῖν σοι δυνηθῶ, ὅσα νοῶ καὶ βλέπω;
εἰσὶ γὰρ ὄντως ἄφθεγκτα καὶ ἄρρητα εἰς ἅπαν,
ἃ ὀφθαλμὸς οὐχ ἑώρακεν, οὐκ ἀκήκοεν οὖς δέ,
ἐπὶ καρδίαν δὲ ποτὲ οὐκ ἀνέβη σαρκίνην.
εὐχαριστῶ σοι, δέσποτα, ὅτι ἠλέησάς με
καὶ δέδωκας ἰδέσθαι με ταῦτα καὶ οὕτως γράψαι
τοῖς μετ' ἐμὲ κηρύξαι τε τὴν σὴν φιλανθρωπίαν,
ἵνα καὶ νῦν μυηθῶσι λαοί, φυλαὶ καὶ γλῶσσαι,
ὅτι τοὺς πάντας ἐλεεῖς θερμῶς μετανοοῦντας
ἴσον τοῖς ἀποστόλοις σου καὶ πᾶσι τοῖς ἁγίοις

---

**68**sq. cf. 2 Cor. 12, 2 **78** 2 Cor. 5, 4 **79** 1 Ioh. 5, 12; cf. Gal. 2, 20 **85**sq. 1 Cor. 2, 9 **90** cf. Apoc. 14, 6; Dan. 6, 19

---

E PN(M)DA1 T(O)Z

---

**69** ἀληθῶς E ὑπάρχει ND **70** τότε: τόδε A1 **71** ὁ ὑπάρχων ἀκίνητος PNDT; nonnulli metrum restituere conati sunt: ὁ ἀκίνητος πέλων E: ἀκίνητος ὁ πέλων A1: ὁ ἀκίνητος ὑπάρχων Z sed versus iam in archetypo hypercatalectus fuisse videtur; cf. Prolegg. p.CCCL **72** ὁ τυγχάνων ἀόρατος PNDT: ὁ ἀθεώρητός γε A1: ὁ ἀόρατος (cum synhizesi inter ὁ et ἀ-?) τυγχάνων Z (ambo m.c.) ordinem verborum totius versus hoc modo m. c. mutavit E: οἶδα γὰρ ὁ ἀόρατος ὁρᾶται μοι τυγχάνων (quod sensui non satisfacit) ad metrum cf. supra ad v. 71 **73** ὅτι post οἶδα habent DZ ex v. 71 et 72 huc detrusum **75** ἐκ om. D **79** ἔχω PD **82** γίνωνται Z **84** καὶ ἄρρητα om. TZ **85** ἃ ὀφθαλμὸς οὐχ ἑώρακεν: καὶ ἃ οὐκ εἶδεν ὀφθαλμὸς E: ἃ ὀφθαλμὸς οὐκ ἔβλεψε A1 (ambo m. c.) **86** δέποτε Z **88** οὔτω Z **90** μυηθῶσι: μυήσωνται (sic) m. c. A1 **91** μετανοοῦντας: τοὺς μεταγνόντας A1TZ **92** ἴσως A1TZ

εὐεργετεῖς τε καὶ τιμᾷς καὶ δοξάζεις, θεέ μου,
ὡς μετὰ πόθου σὲ πολλοῦ ἐκζητοῦντας καὶ φόβου
καὶ πρὸς σὲ μόνον βλέποντας τὸν ποιητὴν τοῦ κόσμου,
ᾧ πρέπει δόξα καὶ τιμή, κράτος, μεγαλωσύνη,
ὡς βασιλεῖ τε καὶ θεῷ τοῦ παντὸς καὶ δεσπότῃ
νῦν καὶ ἀεὶ διὰ παντὸς εἰς αἰῶνας αἰώνων·
ἀμήν.

---

E PN(M)DA1 T(O)Z

---

**93** καὶ δοξάζεις: δοξάζεις τε A1 **96** καὶ om. T **98** αἰώνων ante εἰς αἰῶνας traiecit A1

subscriptio stichometrica: στίχοι ϟθʹ E: στίχοι ϟηʹ P: nulla subscriptio in cett.